δέον ἡγησάμεθα διασαφῆσαι ὑμῖν, ἵνα καὶ αὐτοὶ ἄγητε σκηνοπηγίας
καὶ τοῦ πυρός, ὅτε Νεεμιας ὁ οἰκοδομήσας τό τε ἱερὸν καὶ τὸ θυ-
σιαστήριον ἀνήνεγκεν θυσίας. [19]καὶ γὰρ ὅτε εἰς τὴν Περσικὴν ἤ- 19
γοντο ἡμῶν οἱ πατέρες, οἱ τότε εὐσεβεῖς ἱερεῖς λαβόντες ἀπὸ τοῦ
πυρὸς τοῦ θυσιαστηρίου λαθραίως κατέκρυψαν ἐν κοιλώματι φρέ-
ατος τάξιν ἔχοντος ἄνυδρον, ἐν ᾧ κατησφαλίσαντο ὥστε πᾶσιν
ἄγνωστον εἶναι τὸν τόπον. [20]διελθόντων δὲ ἐτῶν ἱκανῶν, ὅτε ἔδο- 20
ξεν τῷ θεῷ, ἀποσταλεὶς Νεεμιας ὑπὸ τοῦ βασιλέως τῆς Περσίδος
τοὺς ἐκγόνους τῶν ἱερέων τῶν ἀποκρυψάντων ἔπεμψεν ἐπὶ τὸ
πῦρ· ὡς δὲ διεσάφησαν ἡμῖν μὴ εὑρηκέναι πῦρ, ἀλλὰ ὕδωρ παχύ,
ἐκέλευσεν αὐτοὺς ἀποβάψαντας φέρειν. [21]ὡς δὲ ἀνηνέχθη τὰ τῶν 21
θυσιῶν, ἐκέλευσεν τοὺς ἱερεῖς Νεεμιας ἐπιρρᾶναι τῷ ὕδατι τά τε
ξύλα καὶ τὰ ἐπικείμενα. [22]ὡς δὲ ἐγένετο τοῦτο καὶ χρόνος διῆλθεν 22
ὅ τε ἥλιος ἀνέλαμψεν πρότερον ἐπινεφὴς ὤν, ἀνήφθη πυρὰ μεγάλη
ὥστε θαυμάσαι πάντας. [23]προσευχὴν δὲ ἐποιήσαντο οἱ ἱερεῖς δα- 23
πανωμένης τῆς θυσίας, οἵ τε ἱερεῖς καὶ πάντες, καταρχομένου Ιω-
ναθου, τῶν δὲ λοιπῶν ἐπιφωνούντων ὡς Νεεμιου· [24]ἦν δὲ ἡ προσ- 24
ευχὴ τὸν τρόπον ἔχουσα τοῦτον

Κύριε κύριε ὁ θεός, ὁ πάντων κτίστης, ὁ φοβερὸς καὶ ἰσχυρὸς
καὶ δίκαιος καὶ ἐλεήμων, ὁ μόνος βασιλεὺς καὶ χρηστός, [25]ὁ μόνος 25
χορηγός, ὁ μόνος δίκαιος καὶ παντοκράτωρ καὶ αἰώνιος, ὁ διασῴ-
ζων τὸν Ισραηλ ἐκ παντὸς κακοῦ, ὁ ποιήσας τοὺς πατέρας ἐκλε-
κτοὺς καὶ ἁγιάσας αὐτούς, [26]πρόσδεξαι τὴν θυσίαν ὑπὲρ παντὸς 26
τοῦ λαοῦ σου Ισραηλ καὶ διαφύλαξον τὴν μερίδα σου καὶ καθ-
αγίασον. [27]ἐπισυνάγαγε τὴν διασπορὰν ἡμῶν, ἐλευθέρωσον τοὺς 27
δουλεύοντας ἐν τοῖς ἔθνεσιν, τοὺς ἐξουθενημένους καὶ βδελυκτοὺς
ἔπιδε, καὶ γνώτωσαν τὰ ἔθνη ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν. [28]βασάνισον 28
τοὺς καταδυναστεύοντας καὶ ἐξυβρίζοντας ἐν ὑπερηφανίᾳ. [29]κατα- 29
φύτευσον τὸν λαόν σου εἰς τὸν τόπον τὸν ἅγιόν σου, καθὼς εἶ-
πεν Μωυσῆς.

[30]Οἱ δὲ ἱερεῖς ἐπέψαλλον τοὺς ὕμνους. [31]καθὼς δὲ ἀνηλώθη τὰ 30 31
τῆς θυσίας, καὶ τὸ περιλειπόμενον ὕδωρ ὁ Νεεμιας ἐκέλευσεν λί-
θους μείζονας καταχεῖν. [32]ὡς δὲ τοῦτο ἐγενήθη, φλὸξ ἀνήφθη· 32
τοῦ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀντιλάμψαντος φωτὸς ἐδαπανήθη.
[33]ὡς δὲ φανερὸν ἐγενήθη τὸ πρᾶγμα, καὶ διηγγέλη τῷ βασιλεῖ τῶν 33

18 διασαφησαι] διαφεισαι A*† | σκηνοπηγ. και του πυρος] της σκηνοπηγ. τροπον και εις μνημοσυνον του πυρος του δοθεντος Fr. | ο AVLa† (cf. 31)] > rel.: ante οικοδομ. | το τε ιερον] τοτε το ιερον A || 19 τοτε] τε A | εχοντος] -τες A || 20 υπο] απο A† | δε 2° > A: ante δι- | διεσαφησαν] -φισ- A† | αποβαψαντας] -τες A† || 22 τουτο > A | τε > A*† | προτερον > A† || 23 δε ult.] τε A† || 24 κυριε 2° > A† | ισχυρος] pr. ο A† || 27 ει > A† ||
13 καταχειν: cf. Kappler p. 66

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1153 UNIVERSITÄT LEIPZIG